www.tezaurliturgic.ro


*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΔΑΝΙΗΛ
# ΤΟΥ ΕΚ ΖΑΓΟΡΑΣ ΠΗΛΙΟΥ

Ἀθῆναι 2017


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΔΑΝΙΗΛ
# ΤΟΥ ΕΚ ΖΑΓΟΡΑΣ ΠΗΛΙΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΘ´ Αὐγούστου**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´. Πανεύφημοι Μάρτυρες.**

Ὁσίων Πατέρων κορωνίς,
Δανιὴλ πανθαύμαστε,
τῆς Ζαγορᾶς θεῖον βλάστημα,
ἄνθος μυρίπνοον
Ὄρους τοῦ Ἁγίου,
ταῖς ὀδμαῖς σῆς χάριτος
Φολέγανδρον ἡδύνας, ἠξίωσαι
δόξης τῆς κρείττονος
καὶ Ἀγγέλων συνηρίθμησαι
δήμοις, πάτερ,
αἰνοῦσι τὸν Ὕψιστον.

Θειότατε πάτερ, Δανιήλ,
Κολλυβάδων σέμνωμα,
Ἀθωνιτῶν ἐγκαλλώπισμα,
σκεῦος τῆς Χάριτος,
τοῦ Πηλίου γόνε,
ἀσκητῶν ὡράϊσμα,
πατρῴας παραδόσεως ἔρεισμα,
τεῖχος ἀκράδαντον
εὐσεβείας καὶ χρηστότητος,

Ἐκκλησίαν
Ὀρθόδοξον ηὔφρανας.

**Δ**ιδάσκαλε πάνσοφε σεπτοῦ
Ἀρσενίου, ἴθυνας
αὐτὸν σοῖς λόγοις πρὸς Κύριον
καὶ παραδείγματι
βίου σου ἀμέμπτου
χρόνων ἐκ νεότητος,
θεόφρον Δανιήλ, ἀξιάγαστε,
ὃν Πάρος κέκτηται
ἀντιλήπτορα θερμότατον
καὶ προστάτην
ταχὺν καὶ ἀνύστακτον.

**Σ**εμνύνεται, πάτερ Δανιήλ,
Ζαγορὰ σπαργάνοις σου,
τῇ τελευτῇ σου Φολέγανδρος,
νῆσος ἡ ἄγονος,
ἧς ὁ μαθητής σου,
ὁ σεμνὸς Ἀρσένιος,
τοὺς παῖδας τοῦ Κυρίου ἀλήθειαν
πᾶσαν ἐδίδαξε,
καὶ ἡ Πάρος ἐπαγάλλεται
ὥσπερ ὄλβον
σὴν κάραν κατέχουσα.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Τ**ὸν ὑπερμαχοῦντα πατρῴων δογμάτων
καὶ ἀγωνιζόμενον ὑπὲρ τῆς ὀρθῆς ἡμῶν πίστεως
Ἀθωνίτην πατέρα, Δανιὴλ τὸν θειότατον, τιμήσωμεν
ὡς νεόφωτον εὐσεβείας φωστῆρα
ὁλοθύμως ψάλλοντες·
Ὁ ἐξ Ἁγίου Ὄρους φωτίσας
Πεντέλης Μάνδραν καὶ Κυκλάδων νήσους
ἀστραπαῖς θεοσόφων διδαχῶν σου,
δίδαξον ἡμᾶς ποιεῖν τὸ θέλημα τοῦ Ὑψίστου
καὶ σῶσον ἐκ θανάτου εὐχαῖς σου τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

**Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Ὅσιε Δανιήλ,
ὁ κατιδὼν ἡλίου
ἐν Ζαγορᾷ τὸ φέγγος,
ἀμέμπτῳ ἀγωγῇ σου
ἐφώτισας τὰ σύμπαντα.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Πάνσοφε Δανιήλ,
Ὁσίου Ἀρσενίου
διδάσκαλε, Παρίων
τοῦ κλέους, δίδαξόν με
ποιεῖν Θεοῦ τὸ θέλημα.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Κλέϊσμα, Δανιήλ,
Πατέρων Κολλυβάδων,
σαρκὸς σκληραγωγίᾳ,
εὐχῇ καὶ ταπεινώσει
τὴν ἀρετὴν κατέκτησας.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Θεός,
ὁ θέλων πάντας σῶσαι
τοὺς Σὲ δοξολογοῦντας,
Τριὰς ὑπεραγία,
σεπτὴ καὶ ὁμοούσιε.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, Μῆτερ Θεοῦ,
ὑπερευλογημένη,
χαρὰ καὶ εὐθυμία
σῶν δούλων, τῶν ἐν λύπαις
δειναῖς καὶ βίου κλύδωσι.

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

# ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

Φιλοκαλίας τὸ ὕψος
τὸ δυσαντίβλεπτον,
Πατέρων Κολλυβάδων
τὴν ἀκρώρειαν πάντες
τιμήσωμεν εὐτάκτως νῦν Δανιήλ,
Λογγοβάρδας ὡς ἔνοικον,
σεπτοῦ ἐν Πάρῳ Σεμνείου, καὶ θεαυγῆ
Φολεγάνδρου ὑφηγήτορα.

Τὸν ἁγιάσαντα νήσους
Κυκλάδων μέλψωμεν
ῥοαῖς αὐτοῦ δακρύων,
Δανιήλ, εὐσχημόνως
Σικίνου, Φολεγάνδρου ὡς οἰκιστὴν
καὶ τῆς Πάρου κοσμήτορα,
καθιλεούμενον πᾶσιν ἡμῖν Χριστὸν,
τοῖς αὐτὸν ἐγκωμιάζουσι.

Τῇ σεβασμίᾳ σου κάρᾳ
λαμπρῶς σεμνύνεται
Μονὴ Χριστοῦ ἐν Δάσει,
Δανιήλ, νήσου Πάρου,
Ἀρσένιος ἣν ἄρτι ὁ μαθητὴς
ὁ σεπτός σου κατῴκησε
καὶ ἣν ἐδόμησε Κύριλλος πρὸ αὐτοῦ,
ὁ ὁμόφρων σου πανόσιος.

Χαῖρε, σοφίας ἐνθέου
ταμεῖον ἄσυλον,
ὁ ἀρετῶν βαθμίδας
ἀνελθὼν ἐνασκήσει
συντόνῳ, ταπεινώσει καὶ προσευχῇ,
Δανιὴλ πνευματέμφορε,
καὶ εἰς ἐπάλξεις παμφώτους τῶν οὐρανῶν
καταντήσας Θείᾳ Χάριτι.

Ἀθωνιτῶν θεοσόφων
Πατέρων σέμνωμα,
τῆς Ζαγορᾶς Πηλίου
ἐνθεώτατον γόνον,
Ὁσίων φιλοκάλων τὴν καλλονήν,
Δανιήλ, εὐφημήσωμεν
ὡς εὐσεβείας ἀπαύγασμα καὶ φανὸν
ταπεινώσεως ὑπέρφωτον.

Πνευματικὸν ποδηγέτην
καὶ ὑφηγήτορα
Ὁσίου Ἀρσενίου,
τοῦ ἐν Πάρῳ ἀρτίως
ἐκλάμψαντος ἀμέμπτῳ διαγωγῇ,
Δανιήλ, μελῳδήσωμεν,
ὡς Θείου Πνεύματος σκήνωμα διαυγὲς
καὶ πατρῴου φάρον δόγματος.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἀπλανῆ Ὁσίου Ἀρσενίου τοῦ ἐν Πάρῳ ποδηγέτην πρὸς θέωσιν,
Δανιήλ, τὸν ἐξ εὐάνδρου Ζαγορᾶς ὁρμώμενον
καὶ ἐν Φολεγάνδρῳ τὸ ζῆν ἐκμετρήσαντα,
ὡς ταπεινώσεως καὶ ἡσυχίας εὐφημήσωμεν πρόβολον
ἐν κατανύξει ψάλλοντες·
Ὁ ἀγωνισάμενος ὑπὲρ τῶν πατρῴων παραδόσεων
καὶ διδάξας πάντας τὴν εἰς αὐτὰς προσήλωσιν,
ἴσθι καὶ ἡμῶν ἰθύντωρ πρὸς σωτηρίαν
εὐχαῖς σου ἀδιαλείπτοις
πρὸς τὸν μόνον σῴζειν δυνάμενον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.**
**(Κεφ. β΄ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν

καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη ; Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν ; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α΄ 1 - 10 )**

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδ’ οὐ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄ 1 - 9)**

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**

**Ἦχος α΄.**

**Δ**εῦτε φιλοσίων συστήματα Δανιὴλ ἐπαινέσωμεν,
τὸν εὐάρεστον Θεῷ γενόμενον Ἀθωνίτην πατέρα,
ἀσκήσει συντόνῳ τῶν ἀρετῶν ἀναβάντα κλίμακα
καὶ καταντήσαντα εἰς ἐπάλξεις πόλου παμφώτους
ἐν εὐλαβείᾳ κραυγάζοντες·
Ἀρσενίου, τοῦ ἐν Πάρῳ Ὁσίου, διδάσκαλε
θεόπνευστε,ὁ στηρίξας πολλοὺς ἐν τῇ ὀρθῇ πίστει
σῷ παραδείγματι,στήριξον ἡμᾶς ἐν τῇ εὐσεβείᾳ
εὐχαῖς σου πρὸς Κύριον τὸν φιλάγαθον.

**Ἦχος β΄.**

**Ἡ**γιασμένον τῆς Ζαγορᾶς ἐκβλάστημα,
Ἀθωνιτῶν Πατέρων σεμνολόγημα
καὶ τιμαλφὲς τῆς εὐσεβείας διάδημα,
Δανιὴλ πανθαύμαστον, τιμήσωμεν
ὡς νεολαμπῶν Ὁσίων φρυκτώρημα οὕτω λέγοντες·

Πατρῴων παραδόσεων ὑπέρμαχε,
ὁ ἀπλανῶς ποδηγετήσας Ἀρσένιον πρὸς θέωσιν
καὶ τοὺς σοὶ προστρέχοντας πρὸς ἀρετῆς
ὁλοκλήρωσιν,ἴθυνον ἡμᾶς πρὸς ἐπίγνωσιν καὶ
μετάνοιαν τοὺς εὐλαβῶς τιμῶντας τὴν μνήμην σου.

**Ἦχος γ΄.**

**Τ**ὸν πεφωτισμένον καὶ ἡγιασμένον ἀσκητὴν τοῦ
Ἄθωνος,μεταλαμπαδεύσαντα ἐν Πεντέλῃ καὶ Κυκλάδας
τὸ φῶς τῆς τῶν πατρικῶν παραδόσεων τηρήσεως,
Δανιὴλ εὐφημήσωμεν ὡς εὐσεβείας φωστῆρα
ψάλλοντες·Ὁ τηρήσας ἀνόθευτον τὴν παρακαταθήκην
τῆς πίστεως καὶ διδάξας πάντας ἄχρι τέλους
ἐμπράκτως τὴν ἀλήθειαν,ἐπόπτευε οὐρανόθεν τοὺς
ἀνυμνοῦντάς σε καὶ τιμῶντας ἐκθύμως τὴν
ἀεισέβαστον μνήμην σου.

**Ἦχος δ΄.**

**Ε**ὐλογημένε καὶ ἀπλανέστατε ὁδηγὲ Ἀρσενίου τοῦ
Ὁσίου,ὁ αὐτὸν ἐκ τῆς Σχολῆς τῆς Σμύρνης σὺν σοὶ
εἰς Ἄθωνα ὁδηγήσας
καὶ ἐξ αὐτοῦ εἰς ὄρος τῶν Ἀμώμων καὶ Κυκλάδας
νήσους,ἀξίως δεδόξασαι ὡς σοφίας σκεῦος
πολυτίμητον·ὅθεν τὴν μνήμην σου σήμερον
ἑορτάζοντες
καὶ ὡς ἰσάγγελον βροτόν σε μεγαλύνοντες
τὰς θεοπειθεῖς εὐχάς σου ἀπεκδεχόμεθα.

**Δόξα. Ἦχος ὁ αὐτός.**

**Ὡ**ς ποιήσαντα καὶ διδάξαντα,
Δανιήλ, τὸν ἐκ Ζαγορᾶς ὁρμώμενον ὁσιώτατον
Ἀθωνίτην,ὀφείλομεν πάντες ὡς μέγαν ὑμνῆσαι
καὶ τοῖς ἄνθεσι τῶν ὕμνων καταστέψαι
αὐτοῦ μνήμην τὴν ἀεισέβαστον λέγοντες·
Ὁ τοῦ Ἀρσενίου, τοῦ ἐν Πάρῳ θαυματουργοῦ Ὁσίου
ὑφηγήτωρ,καὶ τῶν πατρῴων παραδόσεων τηρητὴς καὶ
διδάσκαλος,ἕλκυσον εὐχαῖς σου πρὸς σωτηρίας
ἐπάλξεις τοὺς τιμῶντας ἀγωγήν σου τὴν ἄσπιλον καὶ
θεάρεστον.

**Καὶ νῦν. Θεοτοκίον.** Ἐκ παντοίων κινδύνων τοὺς
δούλους σου...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, πανευλαβὲς Δανιήλ,
φιλοκαλίας τιμαλφὲς ἐνδιαίτημα,
Ὁσίων Πατέρων εὖχος
Ἀθωνιτῶν καὶ λαμπρὸν
Ἐκκλησίας γέρας,
παναοίδιμε,
κινήματος στήριγμα
Κολλυβάδων ἀσάλευτον,
εὐχῆς ἀόκνου
ἐργαστήριον πάνσεπτον,
ἐγκαλλώπισμα
ἱερώτατον νήψεως,
σκεῦος τῆς Θείας Χάριτος,
διδάσκαλε πάνσοφε
τοῦ θεαυγοῦς Ἀρσενίου
καὶ πάντων τῶν προσιόντων σοι
ἐν Πάρῳ, Πεντέλῃ
Φολεγάνδρῳ καὶ Σικίνῳ,
θεοφορούμενε.

**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, θεοειδὲς Δανιήλ,
τῆς Ζαγορᾶς Πηλίου πάνσεπτον βλάστημα,
κιννάμωμον πανευῶδες
Ἄθωνος ὄρους σεπτοῦ,
ὁ τῇ εὐωδίᾳ
σοῦ φρονήματος
ὀρθοῦ, πάτερ Ὅσιε,
καθηδύνας τὰ σύμπαντα
καὶ δυσωδίαν
ἀπελάσας σοῖς ῥήμασι
τῶν ἑκάστοτε
προστρεχόντων σῇ χάριτι·
χαίροις, ὁ νουθεσίαις σου
Ἀρσένιον Ὅσιον
ἰθύνας πρὸς ἀπαθείας
σκηνὰς καὶ γνῶσιν τὴν σῴζουσαν,
τῆς Πάρου προστάτην,

θεῖον φύλακα καὶ ῥύστην
ἐν περιστάσεσι.

**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Μ**νήμην τὴν σὴν σεπτήν, Δανιήλ,
ἐν Ζαγορᾷ ἐπιτελοῦντες, πανόσιε,
ἐν ᾗ φῶς ἡλίου εἶδες,
καὶ ἐν πανσέπτῳ Μονῇ
τοῦ Χριστοῦ ἐν Δάσει
Πάρου κάραν σου
ἐχούσῃ ὡς πάντιμον
θησαυρὸν εὐφημοῦμέν σου
τὰς ἀριστείας
καὶ τὰς σὰς ἐκδεχόμενοι
πρὸς τὸν Ὕψιστον
ἱκεσίας κραυγάζομεν·
Πέμψον ἡμῖν τὴν χάριν σου
τοῖς σὲ μεγαλύνουσι
καὶ ἐν τῇ πίστει ἱκέτας
τοὺς διαθέρμους σου στήριξον
ἡμῶν τῶν Πατέρων,
τῇ ὀρθῇ, δι᾽ ἣν προθύμως,
πάτερ, ἠγώνισαι.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Ἱ**εροπρεπέστατε Δανιήλ, ἀξιομακάριστε,
ὁ τὸν δόλιχον καλῶς διανύσας τοῦ παρόντος βίου
καὶ δι᾽ ἀγῶνος συντόνου καταντήσας εἰς θέωσιν,
λαμπρῶν ἔτυχες δωμάτων ἐν πόλῳ δόξης ὡς
ἰσάγγελος·
ὅθεν χάριν εὑρὼν ὡς διδάσκαλος τῆς εὐσεβείας
ἄχρι τέλους ὑπὲρ αὐτῆς ἀγωνισάμενος,
Κυρίῳ ἀδιαλείπτως πρεσβεύειν,
μὴ παύσῃ Αὐτὸν ἱκετεύων
ὑπὲρ τῶν ἐκθύμως τιμώντων
τὴν μακαρίαν σου κοίμησιν.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

**Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Κ**ολλυβάδων Ὁσίων Πατέρων σέμνωμα,
φῶς κατιδόντα ἀρτίως

ἡλίου ἐν Ζαγορᾷ,
Δανιὴλ πνευματοφόρον, εὐφημήσωμεν
σκεῦος ὡς Χάριτος σεπτόν,
εὐσεβείας ἐραστὴν
καὶ στῦλον ὀρθοπραξίας,
ὑπὲρ ἡμῶν δυσωποῦντα
θερμῶς Θεὸν τὸν πανευΐλατον.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α´ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α´. Τὸν τάφον Σου, Σωτήρ.**

Ὁσίων ἀσκητῶν,
Δανιήλ, κοσμιότης,
σεπτῶν Ἀθωνιτῶν
νεοπύρσευτον φέγγος,
ἀστὴρ παμφαέστατε
Ζαγορᾶς καὶ θεόφωτον
Πάρου αὔγασμα,
ἀσκητικῆς ἀγωγῆς σου
κατεφώτισας
καὶ φιλοκάλου σου βίου
τοῦ κόσμου τὰ πέρατα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἐπάκουσον ἡμῶν
σοῦ θερμῶς δεομένων
καὶ πέμψον δαψιλῶς
οὐρανόθεν σὴν χάριν,
σεμνὴ ἀειπάρθενε,
τοῖς φαιδρῶς μεγαλύνουσι
σὴν ἀντίληψιν
τὴν ἐναργῆ καὶ ἑτοίμην
προστασίαν σου,

Θεογεννήτρια Μῆτερ,
πιστῶν καταφύγιον.

**Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε.**

Διδάσκαλε πάνσοφε,
θεοειδὲς Δανιήλ,
Πηλίου ἐκβλάστημα
καὶ Ζαγορᾶς καλλονή,
τοῦ κλέους ἀσκήσεως,
ἔμφρονος Ἀρσενίου,
τοῦ ἐν Πάρῳ ἀρτίως
λάμψαντος θαυμασίων
ξενοτρόπων ἀκτῖσιν,
ἐφώτισας τὸν κόσμον βολαῖς
φιλοκαλίας σου.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Θεόθεν περίσκεπε
καὶ περιφρούρει ἀεὶ
τοὺς σὲ μακαρίζοντας
μελισταγέσιν ᾠδαῖς,
πανύμνητε Δέσποινα,
ἄχραντε Θεοτόκε,
Δανιὴλ ἱκεσίαις,
σκάμμασι νυχθημέροις
τῷ Υἱῷ καὶ Θεῷ σου
ἐν χρόνοις τοῖς ἐσχάτοις, ἁγνή,
εὐαρεστήσαντος.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ´. Τὴν ὡραιότητα.**

Σοφίας σκήνωμα, εὐχῆς καὶ νήψεως
ἔμπνουν θησαύρισμα ἐγκωμιάσωμεν
ὡς ταπεινώσεως πυρσὸν καὶ φάρον Ὀρθοδοξίας,
Δανιήλ, φιλόκαλον ἀσκητήν, τὸν διδάσκαλον
Ἀρσενίου μάκαρος, τοῦ ἐν Πάρῳ ἐκλάμψαντος
τοῖς θαύμασι, βλαστοῦ τῆς εὐάνδρου κώμης τῆς
Ζαγορᾶς Πηλίου.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς Χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον·**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

**Εὐαγγέλιον· Ὁσιακόν (Λουκ. στ΄ 17 - 23).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου
πεδινοῦ...
**Ζήτει τῇ Παρασκευῇ τῆς Β΄ Ἑβδομάδος.**
**Ὁ Ν΄ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Δεῦτε φιλοσίων οἱ δῆμοι
εὐλαβῶς συνελθόντες τιμήσωμεν σήμερον,
Δανιήλ, τῆς ἐνδόξου τῶν Κολλυβάδων Πατέρων
χορείας γέρας,
ὡς νομίμως ἀγωνισάμενον καὶ ἀξίως θεόθεν
στεφανωθέντα
ἐν κατανύξει λέγοντες·
Πανσεβάσμιε πάτερ, ὁ εὐχαῖς σου γῆν καὶ οὐρανὸν
συνενώσας,
δεήθητι ὡς οὐρανοπολίτης τοῦ Κυρίου
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·**

**" Δανιὴλ Ὁσίου, Ζαγορᾶς γόνου, ἐγκώμιον. Χ. "**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Δρομέα τὸν τάχιστον
τῆς ἀρετῆς κατακτήσεως
ἐκθύμως τιμήσωμεν
νῦν Δανιήλ, Ζαγορᾶς

τὸ ἐκβλάστημα
καὶ Φολεγάνδρου κρίνον
ἡδὺ προερχόμενον
ὄρους ἐξ Ἄθωνος.

Ἀξίως ὑμνοῦμέν σε
ὡς τοῦ Χριστοῦ φίλον γνήσιον,
κονίστραν ποιήσαντα
ἀσκητικῶν, Δανιήλ,
πόνων Ἄθωνα,
ἐν ᾧ τὸν παλαμναῖον
συντόνοις παλαίσμασιν
ἄρτι ἐπύκτευσας.

Ναὲ ταπεινώσεως
καὶ ἐγρηγόρσεως τέμενος,
ἐκόσμησας Ἄθωνα
τὸν ἱερόν, Δανιήλ,
καὶ ὡράϊσας
λαμπρῶς Ὀρθοδοξίαν
πατρῴων ὑπέρμαχος
ὡς παραδόσεων.

**Θεοτοκίον.**

Ἱκάνωσον δούλους σου
εὖ ἐσαεὶ ἀγωνίζεσθαι
τοὺς σὲ μακαρίζοντας,
Θεογεννῆτορ σεμνή,
καὶ δοξάζοντας
τὸν ἄχραντόν σου Τόκον
εὐτάκτοις μελίσμασι,
Μῆτερ πανάχραντε.

**Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.**

Ἡγίασεν Ὕψιστος τὰς τρίβους
τῆς σῆς ἀκραιφνοῦς διαγωγῆς,
ἡσυχαστῶν καλλώπισμα,
Ὀρθοδοξίας σέμνωμα,
ὦ Δανιήλ, καὶ πρόμαχε
τῶν ἱερῶν παραδόσεων.

Λαμπρύνεις ἀγωνιστῶν χορείας,
θεόσοφε πάτερ Δανιήλ,
ἀκτῖσιν ἐνασκήσεως
στεῤῥᾶς σου, ταπεινώσεως,
σοφίας καὶ συνέσεως,
Ἁγιορείτης ὡς πάντιμος.

Ὁδὸν ὑποδείξας Ἀρσενίῳ
ἀπάγουσαν, πάτερ Δανιήλ,
πρὸς οὐρανῶν σκηνώματα,
τῷ εὐπειθεῖ καὶ σώφρονι,
χειραγωγὸς ὡς ἄριστος
αὐτῷ συγχαίρεις ἀείποτε.

**Θεοτοκίον.**

Σὴν χάριν αἰτούμεθα, Παρθένε,
ἁπάντων βροτῶν καταφυγή,
καὶ προστασίαν ἄγρυπνον,
Θεογεννῆτορ Δέσποινα,
ἡ δυσωποῦσα Τόκον σου
ὑπὲρ ἡμῶν τὸν πανάγιον.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Ὑφηγήτορα τῆς ἐγκρατείας,
ταπεινώσεως, εὐχῆς ἀόκνου
καὶ δογμάτων τῶν πατρῴων τηρήσεως,
ἡσυχαστὴν Δανιὴλ εὐφημήσωμεν
ὡς Ἀρσενίου Ὁσίου διδάσκαλον
καὶ ἀπύθμενον σοφίας ἐνθέου πέλαγος
αὐτοῦ θεοπειθεῖς εὐχὰς αἰτούμενοι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Σκέπη πάμφωτος καὶ προστασία
οὐρανόσδοτος πιστῶν χορείας
πέλεις, Μῆτερ, Ἐλεοῦσα πανθαύμαστε,
ἡ περισκέπουσα πάντας τοὺς δούλους σου
καὶ εὐλογοῦσα τοὺς πίστει προστρέχοντας
ἱκεσίαις σου ἐνθέρμοις πρὸς θεῖον Τόκον σου,
Θεὸν τὸν συμπαθῆ καὶ πανοικτίρμονα.

**Ὠδὴ δ´. Ὁ καθήμενος ἐν δόξῃ.**

Ἰθυντὴρ Ὁσίου πέλων
Ἀρσενίου θεόσοφος,
Δανιήλ, πρὸς τρίβους
ἀρετῆς, σεπτέ, τελειώσεως
μοναδικῆς ἀγωγῆς αὐτὸν ἀνέδειξας
λύχνον πάμφωτον
διὰ συντόνου ἀσκήσεως.

Ὁσιότητος πυξίον,
Δανιήλ, καθωράϊσας
βίῳ σου ἀμέμπτῳ
καὶ ὀρθῷ φρονήματι πίστεως
τῶν Κολλυβάδων Πατέρων τὴν ὁμήγυριν,

ὧν ἐζήλωσας
ἀγῶνα τὸν ἱερώτατον.

Ὑμνῳδίαις σε τιμῶμεν,
Δανιὴλ ἀξιάγαστε,
οἰκιστὴν Πεντέλης
Μάνδρας ἱερὸν χρηματίσαντα
καὶ ἁγιάσαντα Σίκινον, Φολέγανδρον
θείοις πόνοις σου
καὶ Πάρον, πάτερ θειότατε.

**Θεοτοκίον.**

Ζόφον τάχος ἀγνωσίας
καὶ παθῶν ἀποδίωξον
ἐκ τῶν σὲ τιμώντων,
Κεχαριτωμένη θεόνυμφε,
καὶ ἐξανάτειλον πᾶσι φέγγος γνώσεως
τοῦ Παντάνακτος
Θεοῦ καὶ Τόκου πανσέπτου σου.

**Ὠδὴ ε´. Ἐξέστη τὰ σύμπαντα.**

Ἀσκήσει τὴν κλίμακα
ἀνῆλθες, πάτερ Ὅσιε,
ἀρετῆς ἀπάγουσαν πρὸς πόλου
λαμπρὰς ἐπάλξεις,
θεοειδὲς Δανιήλ,

σοφῶς ἡσυχίαν ὁ φιλῶν,
νήφων, προσευχόμενος
καὶ τὴν σάρκα τηκόμενος.

Γαυρίαμα ὄφεως
τοῦ βδελυροῦ ἐπάτησας
πόνοις, Δανιὴλ σεπτέ, συντόνοις,
χαμαικοιτίᾳ,
νηστείᾳ τε σιωπῇ,
εὐχῇ ἀσιγήτῳ καὶ Χριστοῦ
ἀκριβείᾳ πίστεως
καὶ τῶν νόμων τηρήσεως.

Ὁρόσημον τίμιον
πατρῴων παραδόσεων,
Δανιήλ, Ὁσίου Ἀρσενίου
τοῦ ἐν τῇ Πάρῳ,
ὁ ἀπλανὴς ὁδηγός,
κατέλιπες Ἄθωνα ταχὺ
μετ' αὐτοῦ πρὸς ἔριδος
ψυχοφθόρου κατάπαυσιν.

**Θεοτοκίον.**

Ῥανίδας ἀπόσμηξον
ἡμῶν δακρύων, Δέσποινα,
μάκτρῳ ἀντιλήψεώς σου θείας,
Θεογεννῆτορ,
ἡ συμπαθοῦσα ἀεὶ
τὸ γένος ἡμῶν, τῶν εἰς Χριστὸν
πιστευόντων, ἄχραντε,
τὸν πανίερον Τόκον σου.

**ᾨδὴ στ´. Τὴν θείαν ταύτην.**

Ἀῤῥεύστων πάντων ἐζήλωσας,
θεόφρον Δανιήλ, καὶ ἐμίσησας
βίου τὰ πρόσκαιρα·
διὸ καὶ ὤφθης ἰσότιμος
Ἀγγέλων ἀσωμάτων
καὶ ἰσοστάσιος.

Σοφίας πέλων ἀνάπλεως
τῆς θείας, Δανιὴλ μάκαρ, πέφηνας
ἄριστος, Ὅσιε,
τοῦ Ἀρσενίου διδάσκαλος,
ἐν Πάρῳ θαυμασίοις
ἄρτι ἐκλάμψαντος.

Γλυκὺς ὁ φθόγγος χειλέων σου
καθήδυνε πιστούς, προσιόντας σοι,
πάτερ ἰσάγγελε,
ὦ Δανιήλ, εἰς Φολέγανδρον
καὶ Σίκινον καὶ Πάρον,
πανοσιώτατε.

**Θεοτοκίον.**

Ὁδήγει πάντας ἱκέτας σου,
σεμνή, πρὸς ἀρετῆς ὁλοκλήρωσιν,
Θεογεννήτρια,
τοῦ Δανιὴλ ἀναμέλποντας
ἀσκήσεως καμάτους,
τοῦ οὐρανόφρονος.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Πνευματοφόρον Δανιὴλ ἐγκωμιάσωμεν
ὡς ἀσκητὴν Ἁγίου Ὄρους τὸν φιλόκαλον,
ἀτραποῖς ἀκολουθήσαντα Κολλυβάδων
καὶ Πεντέλης Μάνδραν, Σίκινον, Φολέγανδρον
ἅμα Πάρον ἁγιάσαντα ἀσκήσεσι
θείοις κράζοντες· Χαίροις, Πάτερ θεόσοφε.

**Ὁ Οἶκος.**

Ἄγγελος ἀνεδείχθης,
Δανιὴλ Ἀθωνῖτα,
φωτόλαμπρος ἀσκήσει συντόνῳ
καὶ ἀγῶσιν ὑπὲρ τῆς ὀρθῆς,
πάτερ, δοξασίας, ἱερὸν σέμνωμα
εὐχῆς καὶ ταπεινώσεως·
διό σοι εὐλαβῶς βοῶμεν·

Χαῖρε, τὸ βλάστημα τοῦ Πηλίου·
χαῖρε, τὸ σύντριμμα τοῦ δολίου.

Χαῖρε, Ζαγορᾶς πανευώδης ὑάκινθος·
χαῖρε, γεραρᾶς ἐνασκήσεως πρόβολος.

Χαῖρε, γέρας πολυτίμητον ἐγκρατείας καὶ εὐχῆς·
χαῖρε, κέρας ὑπερθαύμαστον θεαρέστου ἀγωγῆς.

Χαῖρε, τοῦ Ἀρσενίου ὁδηγὸς τοῦ Ὁσίου·
χαῖρε, τοῦ εὐϊλάτου μιμητὴς Θεοῦ Λόγου.

Χαῖρε, Κυκλάδων νήσων διδάσκαλος·
χαῖρε, πατρῴων νόμων ὑπέρμαχος·

Χαῖρε, λαμπὰς νεαυγὴς εὐσεβείας·
χαῖρε, ψεκὰς ἄκρας σκληραγωγίας·

Χαίροις, Πάτερ θεόσοφε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ιθ´ Αὐγούστου. Εἶτα λέγομεν·**

**Τ**ῇ ιζ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Δανιὴλ τοῦ Ἁγιορείτου, ἐκ Ζαγορᾶς τοῦ Πηλίου ὁρμωμένου και ἐν Φολεγάνδρῳ νήσῳ ἐν εἰρήνῃ τελειωθέντος.

**Στίχοι.**

**Ζαγορὰ σεμνύνεται, σοφίας σκεῦος,**
**Δανιὴλ Ὅσιε, σεπτοῖς σου σπαργάνοις.**

**Συναξάριον.**

**Ὁ** Ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Δανιὴλ ὡς ἀστὴρ νεόφωτος ἀνέτειλεν ἐν τῷ τῆς Ὀρθοδοξίας στερεώματι. Σεμνύνεται διὰ τὰ σπάργανα αὐτοῦ ἡ περίβλεπτος τῆς Ζαγορᾶς τοῦ Πηλίου κώμη καὶ ἡ Ἐκκλησία τοῦ Χριστοῦ διὰ τοὺς σεπτοὺς αὐτοῦ ἀγῶνας πρὸς τήρησιν τῶν πατρῴων δογμάτων καὶ παραδόσεων.

Διακριθεὶς ὁ Ὅσιος ὡς πνευματικὸς πατὴρ ἐν Ἄθωνι μετεκλήθη εἰς Σμύρνην ὑπὸ τοῦ ἐκεῖ Σχολάρχου, ἱερομονάχου Γρηγορίου Σαράφη, πρὸς πνευματικὴν τῶν μαθητῶν στήριξιν καὶ ποδηγεσίαν. Γνωρίσας ἐν Σμύρνῃ τὸν ἐξ Ἠπείρου μαθητὴν Ἀθανάσιον, μετέπειτα ὁσιώτατον Ἀρσένιον, εἷλκυσεν αὐτὸν εἰς Ἄθωνα. Φιλόκαλος ὢν καὶ ὑπέρμαχος τοῦ κινήματος τῶν Κολλυβάδων ὑπέστη ἀνελέητον διωγμὸν καὶ μετὰ τοῦ ὑποτακτικοῦ αὐτοῦ Ἀρσενίου κατέφυγεν

εἰς τὴν Μονὴν τῆς Πεντέλης καὶ χάριν περισσοτέρας ἡσυχίας εἰς τὴν Μονὴν Λογγοβάρδας, τῆς ἐν Πάρῳ, πρῶτον καὶ εἶτα εἰς Σίκινον καὶ Φολέγανδρον, ἐν ᾗ καὶ ὁσιακῶς τὸ ζῆν ἐξεμέτρησε. Τὴν τιμίαν αὐτοῦ κάραν μετὰ τὴν γενομένην ἀνακομιδὴν τῶν πανσέπτων αὐτοῦ λεψάνων ὁ Ὅσιος Ἀρσένιος μετεκόμισεν εἰς τὴν Μονὴν τοῦ Χριστοῦ ἐν Δάσει τῆς Πάρου, ἐν ᾗ αὐτὸς θεοφιλῶς ἠσκεῖτο. Ἐν αὐτῇ ἄχρι τοῦδε αὕτη θησαυρίζεται πρόξενος οὖσα πολλῶν θαυμασίων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. **Οὐκ ἐλάτρευσαν.**

**Ν**έος πίστεως
κοσμήτωρ ἀναδέδειξαι,
πάτερ παγκόσμιε,
θεοειδὲς Δανιήλ,
προφήτου ὁμώνυμε,
τοῦ δι’ εὐσέβειαν
ὑπομείναντος
ἀνόσιον ἀπόῤῥιψιν
εἰς τὸν λάκκον τῶν λεόντων.

**Ὄ**λβε πίστεως
καὶ θησαυρὲ ἀσύλητε
σεπτῆς τηρήσεως
νόμων ὀρθῶν, Δανιήλ,
ἐν ἔτεσιν ἔριδος
πικρᾶς κατέλιπες
ὄρος Ἄθωνος
καὶ σὺν Ὁσίῳ ᾤκησας
Ἀρσενίῳ εἰς Κυκλάδας.

**Ὕ**μνοις ἅπαντες
τῆς Ζαγορᾶς οἰκήτορες
τὴν θείαν μνήμην σου
καὶ ἱεράν, Δανιήλ,
τελοῦντες ὡς πρόμαχον
ἐγκωμιάζομεν,
τοῦ κινήματος
τῶν Κολλυβάδων, Ὅσιε
πνευματέμφορε, Πατέρων.

**Θεοτοκίον.**

Εὐσυμπάθητε
Παρθένε, μακαρίζομεν
σὲ ὡς ἀχείμαστον
λιμένα καὶ γαληνὸν
ἐν βίου τοῖς κλύδωσι,
Θεογεννήτρια,
Μῆτερ ἄχραντε,
καὶ ὅρμον ὡς πανεύδιον
ἐν ταῖς ζάλαις, Παναγία.

**ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.**

Γέρας ἐναρέτου πολιτείας,
ἀκρότης τῶν Ὀρθοδόξων παραδόσεων
εὐλαβοῦς τηρήσεως,
Δανιὴλ πανθαύμαστε,
Κυκλάδων νήσων πέφηνας
καθαγιάσεως
κρουνὸς καὶ ἐξαιρέτως τῆς Πάρου,
κάραν σου τὴν θείαν
ὡς ὄλβον κατεχούσης.

Κύμινον εὐῶδες ἀπαθείας,
καθήδυνας, Δανιήλ, ὀδμαῖς ῥημάτων σου
τοὺς οἰκοῦντας, Ὅσιε,
Σίκινον, Φολέγανδρον
καὶ Πάρον, πνευματέμφορε
ὄντως διδάσκαλε,
ἐνθέου Ἀρσενίου, οὗ θήκη,
ἔχει τῶν λειψάνων
Σεμνεῖον ἐν τῷ Δάσει.

Ὤφθης μονοτρόπων κοσμιότης,
Κυρίλλου τοῦ ἐν τῇ Πάρῳ ἰσοστάσιος
καὶ ὁμόφρων, Ὅσιε
Δανιήλ, διάκοσμε
τῶν φιλοκάλων, πάντιμε,
Πατέρων, ἅπασαν
τὴν κτίσιν ἄρτι ὡραϊσάντων
λόγοις τε καὶ τρόποις
διαγωγῆς ἀμέμπτου.

**Θεοτοκίον.**

**Μ**ῆτερ τοῦ Θεοῦ Ὑψίστου Λόγου,
ὡς ὅρμον θαλαττευόντων ἀκλυδώνιστον
ἐν πελάγει, ἄχραντε,
βίου ἀνυμνοῦντές σε
ἐν πίστει καταφεύγομεν
ταῖς ἱκεσίαις σου
πρὸς Τόκον σου τὸν θεῖον, Παρθένε,
Κεχαριτωμένη,
λιμὴν πιστῶν εἰρήνης.

**ᾨδὴ θ΄. Ἅπας γηγενής.**

**Ἴ**θυνας σοφῶς
Ἀρσένιον Ὅσιον,
ὅνπερ παρέλαβες
ἔφηβον, πρὸς θέωσιν,
ἐκ τοῦ σχολείου
τῆς Σμύρνης, πάνσοφε,
ὃν Πάρος ἔχει φύλακα
καὶ ἀντιλήπτορα
θεῖον, πάτερ
Δανιὴλ πανθαύμαστε,
Κολλυβάδων Πατέρων καλλώπισμα.

**Ὅ**σιε Χριστοῦ,
εὐχῆς ἐνδιαίτημα
καὶ ταπεινώσεως
μέλαθρον φωτόλαμπρον,
σεμνοῦ ἀγῶνος
κανὼν εὐθύτατε,
διὰ τῆς θείας πίστεως
ἡμῶν ἀκρίβειαν,
τῷ Κυρίῳ
ἀγωγῇ ἀμέμπτῳ σου,
Δανιὴλ ἱερέ, εὐηρέστησας.

**Ν**έος, Δανιήλ,
διάκοσμος πίστεως
ἀρτίως πέφηνας
ὡραΐσας Ἄθωνα,
Πεντέλην, Πάρον,

θεόφρον, Σίκινον
καὶ εὐκλεῆ Φολέγανδρον,
ἣν καθηγίασας
σοῦ τῷ τάφῳ
τῷ σεπτῷ, διδάσκαλε
Ἀρσενίου, πελάγους τῆς χάριτος.

**Θεοτοκίον.**

**Χ**αῖρε, ἀρωγὲ
πιστῶς προστρεχόντων σοι,
Θεογεννήτρια,
βοηθὲ ἀνύστακτε
καὶ ἀντιλῆπτορ
πιστῶν ἀείποτε,
εὐλογημένη Δέσποινα,
τοῦ κόσμου στήριγμα
ἐν κινδύνοις,
Μῆτερ, ἀδιάσειστον
καὶ θερμὸν ἐν δεινοῖς καταφύγιον.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

**Φ**ιλοκαλίας ἔρεισμα,
πατρῴων παραδόσεων
στῦλε ἀσάλευτε, πάτερ,
καὶ θεαρέστου ἀγῶνος
θεμέλιον, ἠγώνισαι
ὑπὲρ σεπτῆς τηρήσεως
τῶν νόμων, θεοτίμητε,
Ὁσίων νέων Πατέρων,
ὦ Δανιήλ, κοσμιότης.

**Θεοτοκίον.**

**Θ**εογεννῆτορ ἄχραντε,
τοῦ κόσμου καταφύγιον
ἐν πειρασμοῖς καὶ κινδύνοις,
ἡμᾶς θεόθεν εὐλόγει
τοὺς σπεύδοντας σῇ χάριτι
καὶ πίστει μεγαλύνοντας
πληθὺν τῶν θαυμασίων σου,
Χριστοῦ φιλόστοργε Μῆτερ,
Χριστιανῶν θεία σκέπη.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος!**

Ἄστρον προσευχῆς νεόφωτον,
θεοειδὲς Δανιήλ,
Ζαγορᾶς θεῖον βλάστημα,
Ἐκκλησίας σέμνωμα
καὶ πατέρων ὡράϊσμα
τῶν φιλοκάλων,
ὄντως ηὐτρέπισας
τῇ ἀγωγῇ σου
ὄρος τοῦ Ἄθωνος
καὶ νήσου, Ὅσιε,
τῶν Κυκλάδων, πάνσοφος
ὑφηγητὴς
ἀρετῆς, ὧν πέφηνας
φρουρὸς καὶ ἔφορος.

Πάτερ Δανιήλ, σεμνύνεται
σπαργάνοις σοῖς Ζαγορά,
Ἄθως τῇ ἐνασκήσει σου,
Κολλυβάδων ὅμιλος
νυχθημέροις ἀγῶσί σου
καὶ Ἐκκλησία
Χριστοῦ ἀμέμπτῳ σου
βίῳ, τρισμάκαρ,
πατέρων σέμνωμα,
ὁ τὴν ἀκρίβειαν
ἀμωμήτου πίστεως ἡμῶν καλῶς
ἐν ἐσχάτοις ἔτεσι
τηρήσας ἄριστα.

Πάτερ Δανιήλ, διδάσκαλε
καὶ ὑφηγῆτορ σοφὲ
Ἀρσενίου τοῦ μάκαρος,
Πάρου ἀντιλήπτορος
καὶ ταχέος ἀκέστορος,
τιμίαν κάραν
κατασπαζόμενοι
τὴν σὴν ἐν Μάνδρᾳ
Μεταμορφώσεως
τοῦ Παντοκράτορος

Ἰησοῦ πληρούμεθα χαρᾶς πολλῆς,
ῥώμης καὶ δυνάμεως
ἄμφω, πανύμνητε.

**Μ**νήμην, Δανιήλ, τὴν θείαν σου
καὶ ἱερὰν εὐλαβῶς
ἑορτάζοντες σήμερον
ἐν κλεινῇ πατρίδι σου,
Ζαγορᾷ, πάτερ Ὅσιε,
ἐπευφημοῦμεν
σεπτοὺς καμάτους σου
τοὺς νυχθημέρους
διὰ τὴν τήρησιν
νόμων τῆς πίστεως
τῶν ὀρθῶν καὶ ψάλλομεν
ᾠδαῖς λαμπραῖς
σοῦ τὰ κατορθώματα
τὰ ὑπὲρ ἔννοιαν.

**Δόξα. Ἦχος πλ. α΄.**

**Τ**ὸν τοῦ Ὁσίου Ἀρσενίου ἀλείπτην καὶ διδάσκαλον,
δι’ οὗ Ζαγορὰ σεμνύνεται σπαργάνοις,
Ἄθως ἀγωγῇ ἰσαγγέλῳ,
ὁσιακῇ τελευτῇ Φολέγανδρος
καὶ Πάρος τῇ αὐτοῦ χαριτοβρύτῳ κάρᾳ,
ἐν κατανύξει τιμήσωμεν κράζοντες·
Ὁ κανὼν τῆς ἀκριβείας τῆς πίστεως
καὶ ὁ γνώμων τῆς εὐσεβείας,
τηρητὰς ἡμᾶς ἀνάδειξον τοῦ πατρῴου δόγματος
καὶ σῶσον ἐκ θανάτου εὐχαῖς σου
τὰς ψυχὰς τῶν σπευδόντων σῇ χάριτι.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ 'Απόλυσις.**

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ´ καὶ ἡ στ´ ᾠδή.**

**Ἀπόστολος· πρὸς Γαλάτας. (Κεφ. ε´ 22 - στ´ 2 ).**
Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστι, χαρά,...
**Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ´ Ἑβδομάδος.**

**Εὐαγγέλιον· κατὰ Λουκᾶν. (Κεφ. ιγ´ 17 - 23 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...
**Ζήτει τῇ Πέμπτῃ τῆς Δ´ Ἑβδομάδος.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

**Μεγαλυνάριον.**

Χαίροις, πάτερ Ὅσιε, Δανιήλ,
Ζαγορᾶς εὐάνδρου
θεῖον βλάστημα καὶ σεπτὸν
εὐσεβείας γέρας,
ὑπὲρ αὐτῆς προθύμως
ὁ ἐν ἐσχάτοις χρόνοις
ἀγωνισάμενος.

**Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.**

***Δανιήλ,* ἐκβλάστημα* *Ζαγορᾶς*, φρονήματος* Ὀρθοδόξου πλῆσόν με.**

**Δίστιχον.**

**Ἰγνάτιον καὶ Δημήτριον εὐλόγει,**
**Δανιὴλ Ὅσιε, Χαραλάμπης ψάλλει.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι Δ Ο Ξ Α**

**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω Η Μ Ω Ν**

**Ἀριθμ. Καταλ. Α 816 / 22-3-17**